f. πολύπειρος ἀκολουθεῖ πλΰπειρος, αὐτῷ προσανάθου καὶ διαλύσει σοι τὸ
ζήτημα. Καὶ ὁ κηπωρὸς φησὶ, οὗτος ὁ σαπρὸς γράμματα
οἶδεν. οὐαὶ τῇ ἀτυχίᾳ μου, καὶ πρὸς τὸν Αἴσωπον λέγει,
ἄπε, εἰ ἐπίστασαι. Καὶ ὁ Αἴσωπος, τοῦτο ζητεῖς ἀκοῦσαι διὰ
ποίαν αἰτίαν τὰ φυτὰ εἰς τὴν γῆν βάλλεις, καὶ ταῦτα ἐ-
πιμελῶς ἐξαρδεύῃ, τὰ δὲ ἄγρια ταχέως ἀναβαίνει μᾶλλον,
ἢ τὰ παρὰ σοῦ βαλλόμενα. ἄκουσον. ὃν τρόπον γυνὴ πρὸς
δεύτερον ἐρχομένη γάμον, τέκνα ἔχουσα ἐκ τοῦ προτέρου ἀν-
δρὸς, εὕρῃ δὲ τὸν ἄνδρα ἐκ τῆς προτέρας τεκνοῦντα, γίνε-
ται οὖν, ὧν μὲν ἐπιφέρεται, μήτηρ, ὧν δὲ εὑρίσκεται, μη-
τρυά. Καὶ τούτων ἡ διαφορὰ γίνεται πολλή. Τὰ γὰρ ἐξ αὐ-
τῆς γεννηθέντα, φιλοστόργως ἀνατρέφει, τὰ δὲ ἐξ ἀλλοτρί-
ων ὠδίνων τεχθέντα μισεῖ, καὶ ζηλωχρωμένη, περικόπτου-
σα μᾶλλον τὴν ἐκείνων τροφὴν, τοῖς ἰδίοις δίδωσι τέκνοις.

http://digital.slub-dresden.de/ppn346259193/35